Ἦλθεν εἰς τὴν Κωνσταντινούπολιν καὶ ἁπλῶς εἰς τὴν Ἀνατολικὴν ἐκκλησίαν ἀπὸ τῆς Φράντζας ἡ Τάργα, καὶ ἔγραψε κατ' αὐτῆς πανταχόσε ὁ Παρθενάκης· καὶ ἀγοράσαντες βιβλία ταύτης οἱ ὀρθόδοξοι κατέκαυσαν πανταχόσε ἐν τοῖς φόροις, καὶ ἐγένετο τοῖς παπισταῖς αἰσχύνη μεγάλη.

Ἔψησαν μῦρον ἐν τῇ Κωνσταντινουπόλει διὰ δαπάνης καὶ ἐπιμελείας τοῦ Ἑρμηνέως Παναγιώτου Νικοσίου.

Τοῦ Σερβίας ἀρχιεπισκόπου Γαβριὴλ εἰς Μοσχοβίαν ἀπελθόντος, Μάξιμός τις τὸν ἀρχιεπισκοπικὸν αὐτοῦ θρόνον ἀφήρπασεν· ἐπανακάμψας δὲ ὁ Γαβριὴλ καὶ διϊσχυριζόμενος τὸν θρόνον αὐτοῦ ἐπαναλαβεῖν, ὡς ἐπίβουλος τῆς βασιλείας ὑπὸ τοῦ Μαξίμου πρὸς τὸν βεζίρην Κιοπρουλὴ Μεχμὲτ-πασσᾶν διαβάλλεται, ὑφ' οὗ καὶ ἐκρεμάσθη ἀδίκως ἐν τῇ Προύσῃ.

—

## Ἔτει σωτηρίῳ 1659, τοῦ Χιτζρὲ 1070.

Ὅ,τε προῤῥηθεὶς Γαβριὴλ ὁ πρώην πατριάρχης Κωνσταντινουπόλεως, βαπτίσας Ἑβραῖόν τινα ἐν τῇ Προύσῃ, συκοφαντηθεὶς ὑπὸ τῶν Ἑβραίων καὶ διαβληθεὶς πρὸς τὸν βεζίρην Κιοπρουλὴ Μεχμὲτ-πασσᾶν, διάγοντα κατὰ τοῦτον τὸν χρόνον ἐν τῇ Προύσῃ μετὰ τοῦ σουλτάνου, ὡς δῆθεν Τοῦρκόν τινα βαπτίσας, κρεμᾶται ἐν τῇ Προύσῃ, καὶ λαμβάνει προεδρικῶς τὴν Προῦσαν ὁ ἐξ Ἄνδρου τῆς νήσου καταγόμενος Διονύσιος ὁ Λαρίσσης μητροπολίτης. Οὗτοι καὶ οἱ τρεῖς μάρτυρές εἰσιν· οἱ γὰρ ἐθνικοὶ πολλὰ ἐποίησαν αὐτοῖς τοῦ ἐξομόσαι, ἀλλ' ἐλέει θεοῦ οὐ γέγονε τοιαύτη παραχώρησις ἐν τῇ ἐκκλησίᾳ.

Ὁ βεζίρης Κιοπρουλὴ Μεχμὲτ-πασσᾶς ἀσθενεῖ εἰς τὴν Κωνσταντινούπολιν.

. . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . .

(ἐλλείπουσιν ἐκ τοῦ χειρογράφου αἱ σελίδες 301—322.)